‘τὸ ‘γνῶθι σαυτὸν’ τοῦτ’ ἔπος μὲν οὐ μέγα,
ἔργον δ’ ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν’,

ὁ δὲ Πίνδαρος (fr. 216)

‘σοφοὶ δέ’ φησί ‘καὶ τὸ ‘μηδὲν ἄγαν’ ἔπος αἴνησαν
περισσῶς’.

(29.) ταῦτ’ οὖν ἐν διανοίᾳ τις ἔχων ὡς πυθόχρηστα παραγγέλματα πρὸς πάντα τὰ τοῦ βίου πράγματα ῥᾳδίως ἐφαρμόζειν δυνήσεται καὶ φέρειν αὐτὰ δεξιῶς, εἴς τε τὴν αὑτοῦ φύσιν ἀφορῶν καὶ εἰς τὸ μὴ πέρα τοῦ προσήκοντος ἐν τοῖς προσπίπτουσιν ἢ διαίρεσθαι πρὸς ἀλαζονείαν ἢ ταπεινοῦσθαι E καὶ καταπίπτειν πρὸς οἴκτους καὶ ὀλοφυρμοὺς διὰ τὴν τῆς ψυχῆς ἀσθένειαν καὶ τὸν ἐμφυόμενον ἡμῖν τοῦ θανάτου φόβον παρὰ τὴν ἄγνοιαν τῶν εἰωθότων ἐν τῷ βίῳ συμβαίνειν κατὰ τὴν τῆς ἀνάγκης ἢ πεπρωμένης μοῖραν. καλῶς δ’ οἱ Πυθαγόρειοι παρεκελεύσαντο λέγοντες (Carm. Aur. 17)

‘ὅσσα δὲ δαιμονίαισι τύχαις βροτοὶ ἄλγε’ ἔχουσιν,
ἣν ἂν μοῖραν ἔχῃς, ταύτην ἔχε μηδ’ ἀγανάκτει’

καὶ ὁ τραγικὸς Αἰσχύλος (immo Eur. fr. 1078)

‘ἀνδρῶν γάρ ἐστιν ἐναρέτων τε καὶ σοφῶν
ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς’ F

καὶ ὁ Εὐριπίδης (fr. 965)

‘ὅστις δ’ ἀνάγκῃ συγκεχώρηκεν βροτῶν,
σοφὸς παρ’ ἡμῖν, καὶ τὰ θεῖ’ ἐπίσταται’

καὶ ἐν ἄλλοις (fr. 505)

‘τὰ προσπεσόντα δ’ ὅστις εὖ φέρει βροτῶν, |
ἄριστος εἶναι σωφρονεῖν τέ μοι δοκεῖ’. 117

**30.** Οἱ δὲ πολλοὶ πάντα καταμέμφονται καὶ πάντα τὰ παρὰ τὰς ἐλπίδας αὐτοῖς συμβεβηκότα ἐξ ἐπηρείας τύχης καὶ δαιμόνων γίνεσθαι νομίζουσι. διὸ καὶ ἐπὶ πᾶσιν ὀδύρονται,